## The Temptation of Jesus

### ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ

4:1 Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς
τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος
πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. 4:2
καὶ νηστεύσας ἡμέρας
τεσσεράκοντα καὶ νύκτας
τεσσεράκοντα, ὕστερον ἐπείνασεν.

4:3 Καὶ προσελθὼν ὁ πειράζων
εἶπεν αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ θεοῦ,
εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι
γένωνται. 4:4 ὁ δὲ ἀποκριθεὶς εἶπεν,
Γέγραπται,
*Οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ὁ
ἄνθρωπος ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι
ἐκπορευομένῳ διὰ στόματος θεοῦ.*

4:5 Τότε παραλαμβάνει αὐτὸν ὁ
διάβολος εἰς τὴν ἁγίαν πόλιν καὶ
ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον
τοῦ ἱεροῦ, 4:6 καὶ λέγει αὐτῷ, Εἰ
υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν
κάτω· γέγραπται γὰρ ὅτι
*Τοῖς ἀγγέλοις αὐτοῦ
ἐντελεῖται περὶ σοῦ καὶ ἐπὶ χειρῶν
ἀροῦσίν σε, μήποτε προσκόψῃς
πρὸς λίθον τὸν πόδα σου.*
4:7 ἔφη αὐτῷ ὁ Ἰησοῦς, Πάλιν
γέγραπται, *Οὐκ ἐκπειράσεις
κύριον τὸν θεόν σου.*

4:8 Πάλιν παραλαμβάνει αὐτὸν
ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν
καὶ δείκνυσιν αὐτῷ πάσας τὰς
βασιλείας τοῦ κόσμου καὶ τὴν
δόξαν αὐτῶν 4:9 καὶ εἶπεν αὐτῷ,
Ταῦτά σοι πάντα δώσω, ἐὰν πεσὼν
προσκυνήσῃς μοι. 4:10 τότε λέγει
αὐτῷ ὁ Ἰησοῦς, Ὕπαγε, Σατανᾶ·
γέγραπται γάρ, *Κύριον τὸν θεόν
σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ
λατρεύσεις.*

4:11 Τότε ἀφίησιν αὐτὸν ὁ
διάβολος, καὶ ἰδοὺ ἄγγελοι
προσῆλθον καὶ διηκόνουν αὐτῷ.

### ΚΑΤΑ ΜΑΡΚΟΝ

1:12 Καὶ εὐθὺς τὸ πνεῦμα αὐτὸν
ἐκβάλλει εἰς τὴν ἔρημον.

1:13 καὶ ἦν ἐν τῇ ἐρήμῳ
τεσσεράκοντα ἡμέρας πειραζό-
μενος ὑπὸ τοῦ Σατανᾶ, καὶ ἦν μετὰ
τῶν θηρίων, καὶ οἱ ἄγγελοι
διηκόνουν αὐτῷ.

### ΚΑΤΑ ΛΟΥΚΑΝ

4:1 Ἰησοῦς δὲ πλήρης
πνεύματος ἁγίου ὑπέστρεψεν ἀπὸ
τοῦ Ἰορδάνου καὶ ἤγετο ἐν τῷ
πνεύματι ἐν τῇ ἐρήμῳ 4:2 ἡμέρας
τεσσεράκοντα πειραζόμενος ὑπὸ
τοῦ διαβόλου. καὶ οὐκ ἔφαγεν
οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις καὶ
συντελεσθεισῶν αὐτῶν ἐπείνασεν.

4:3 Εἶπεν δὲ αὐτῷ ὁ διάβολος,
Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ τῷ λίθῳ
τούτῳ ἵνα γένηται ἄρτος. 4:4 καὶ
ἀπεκρίθη πρὸς αὐτὸν ὁ Ἰησοῦς,
Γέγραπται ὅτι *Οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ
ζήσεται ὁ ἄνθρωπος.*

4:5 Καὶ ἀναγαγὼν αὐτὸν ἔδειξεν
αὐτῷ πάσας τὰς βασιλείας τῆς
οἰκουμένης ἐν στιγμῇ χρόνου 4:6
καὶ εἶπεν αὐτῷ ὁ διάβολος, Σοὶ
δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν
καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ
παραδέδοται καὶ ᾧ ἐὰν θέλω
δίδωμι αὐτήν· 4:7 σὺ οὖν ἐὰν
προσκυνήσῃς ἐνώπιον ἐμοῦ, ἔσται
σοῦ πᾶσα. 4:8 καὶ ἀποκριθεὶς ὁ
Ἰησοῦς εἶπεν αὐτῷ, Γέγραπται,
*Κύριον τὸν θεόν σου
προσκυνήσεις καὶ αὐτῷ μόνῳ
λατρεύσεις.*

4:9 Ἤγαγεν δὲ αὐτὸν εἰς
Ἰερουσαλὴμ καὶ ἔστησεν ἐπὶ τὸ
πτερύγιον τοῦ ἱεροῦ καὶ εἶπεν αὐτῷ
, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν
ἐντεῦθεν κάτω· 4:10 γέγραπται γὰρ
ὅτι *Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται
περὶ σοῦ τοῦ διαφυλάξαι σε,* 4:11
καὶ ὅτι *Ἐπὶ χειρῶν ἀροῦσίν σε,
μήποτε προσκόψῃςυ πρὸς λίθον
τὸν πόδα σου.* 4:12 καὶ ἀποκριθεὶς
εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Εἴρηται,
*Οὐκ ἐκπειράσεις κύριον τὸν θεόν
σου.*

4:13 Καὶ συντελέσας πάντα
πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ᾽
αὐτοῦ ἄχρι καιροῦ.